τὸν λόγον, ἢ τὴν φρόνησιν φθείρουσιν, οὔτε κακαί εἰσιν· αἱ δὲ σωματικαὶ κωλύουσιν ἢ διὰ τὴν τῆς ὀρέξεως ἐναντιότητα, ὅταν ἠρεμῇ ἐν τῷ παρὰ λόγον, ἐξ οὗ ἔχει ἡδονὴ τὸ εἶναι κακὴ ἠθικῶς, ἢ διὰ δεσμόν τινα τοῦ λόγου, ὅπερ καὶ τῇ κατὰ λόγον συμβαίνει διὰ τὴν συνεζευγμένην ταύτῃ σωματικὴν μεταβολήν, ὥσπερ τῇ τοῦ γάμου· ἀλλ' ἐκ τοῦ δεσμοῦ τούτου οὐχ ἕπεται κακία ἠθική, ὥσπερ οὐδ' ὁ ὕπνος, ᾧ δεσμεῖται ὁ λόγος, κακός ἐστιν ἠθικῶς τῷ κατὰ λόγον μετέχοντι. Καὶ γὰρ καὶ τοῦτο κατὰ λόγον ἐστί, τὸ διακόπτεσθαι τὴν τοῦ λόγου χρῆσιν ἐνίοτε. Ὁ δ' ἐκ γαμικῆς συνουσίας τοῦ λόγου δεσμὸς οὐκ ἔχων πονηρίαν ἠθικήν, οὔτε θανάσιμον οὔτε συγγνωστήν, προῆλθε μέντοι ἔκ τινος ἠθικῆς πονηρίας, τοῦ προγονικοῦ δηλονότι ἁμαρτήματος, καὶ διὰ τοῦτο φησὶν Ἱερώνυμος, ὅτι ἐν τῇ γαμικῇ συνουσίᾳ οὐδὲ τῷ προφήτῃ δίδοται πνεύματος παρουσία. Ἀλλ' οὐδ' ὁ σώφρων πάσας τὰς σωματικὰς ἡδονὰς φεύγει, ἀλλὰ τὰς ἀμέτρους καὶ τὰς μὴ προσηκούσας τῷ λόγῳ· οὐδὲ διὰ τὸ τὰ παιδία καὶ τὰ ζῷα διώκειν αὐτὰς κακαί εἰσιν ἁπλῶς· ἔνεστι γὰρ τούτοις ὄρεξις φυσικὴ παρὰ τοῦ Θεοῦ, ἥτις αὐτὰ ἐπὶ τὸ οἰκεῖον τούτοις κινεῖ.

2. Δεύτερον, ὅτι οὐ πᾶσα ἡδονὴ ἀγαθή. Ἐν ταῖς Παροιμίαις λέγεται· „Οἱ ἡδόμενοι ὅταν κακοποιῶσι, καὶ εὐφραινόμενοι ἐπὶ τοῖς χειρίστοις". Περὶ τὸ πρῶτον πεπλάνηνται οἱ Στωϊκοί, καὶ περὶ τὸ δεύτερον οἱ Ἐπικουρεῖοι, μὴ διακρίναντες τό τε ἁπλῶς ἀγαθὸν καὶ τό πῃ, καὶ ἑπομένως μηδὲ τὴν ἐν τῷ ἀγαθῷ ἠρεμίαν.

f. 105 3. Τρίτον, ὅτι ἡδονή τις τὸ ἄριστόν ἐστιν. Ἡ γὰρ μακαριότης οὐκ ἄνευ ἡδονῆς· λέγεται γὰρ ἐν Ψαλμοῖς· „Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος".

Ἰστέον δὲ ὅτι ὁ Πλάτων τὴν μέσην τῶν Στωϊκῶν καὶ Ἐπικουρείων ἐλθὼν καλῶς, ὅμως οὐδεμίαν ἡδονὴν εἶναι τὸ ἄριστον ἔθετο, καὶ διχῶς ἥμαρτεν· ἓν μέν, ὅτι ἰδὼν τὰς αἰσθητικὰς ἡδονὰς ἔν τινι κινήσει καὶ γενέσει καὶ ἐπὶ τῆς πληρώσεως τῶν σιτίων, ὑπείληφέ τε πᾶσαν ἡδονὴν ἕπεσθαι ταύταις καὶ ἀκολούθως μηδὲ λόγον ἐσχάτης τελειότητος ἔχειν, ὥσπερ οὐδ' αὗται· ἀλλὰ δῆλόν ἐστιν ἐπὶ τῶν νοητῶν ἡδονῶν, οἷον τῆς τοῦ ἐπίστασθαι, καὶ οὐ μόνον ἐν τῷ μανθάνειν, ἀλλὰ καὶ ἐν τῷ θεωρεῖν κατὰ τὴν πορισθεῖσαν ἡδόμεθα· ἕτερον δέ, ὅτι ἄριστον ἔλεγε τὸ ἁπλῶς ἔσχατον ἀγαθόν, ὃ δηλονότι ἐστὶν αὐτάγαθον κατὰ ἀφαίρεσιν καὶ κεχωρισμένον, ἀλλ' οὐ μεθεκτόν, ὥσπερ αὐτὸν τὸν Θεόν. Ἡμεῖς δὲ περὶ τοῦ ἀρίστου ὡς ἂν ἐν τοῖς ἀνθρώποις ὄντος διαλεγόμεθα· ἄριστον δὲ ἐν ἑκάστῳ τὸ ἔσχατον τέλος καὶ ἢ τὸ πρᾶγμα, ἢ ἡ χρῆσις αὐτοῦ, ὡς τοῦ φειδωλοῦ τὰ χρήματα, ἢ ἡ κτῆσις αὐτῶν· οὕτω καὶ ἀνθρώπου ἔσχατον τέλος ὁ Θεός, ἁπλῶς ἔσχατον ἀγαθὸν ὄν, ἢ ἡ τούτου ἀπόλαυσις, ἢ ἡδονὴν

---

18 Prov. 2, 14 23 Ps. 15, 10 32 *κατὰ τὴν πορ.*, sous-entendu *ἐπιστήμην*

Ε. ΔΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τινα ἐν τούτῳ τῷ ἐσχάτῳ τέλει σημαίνει, καὶ οὕτως ἡδονή τις ἀνθρωπίνη δύναται λέγεσθαι τὸ ἄριστον τῶν ἀνθρωπίνων ἀγαθῶν.

4. Τέταρτον, ὅτι ἡ ἡδονὴ μέτρον ἐστὶν ἢ κανὼν τοῦ ἠθικοῦ ἀγαθοῦ καὶ κακοῦ· ἔστι γὰρ τέλος, ὅπερ ἐν τοῖς πρακτοῖς λόγον ἐπέχει ἀρχῆς, καθὸ μάλιστα λαμβάνεται ἡ κρίσις ὥσπερ ἀπὸ κανόνος ἢ μέτρου· καὶ ὅτι ἠρεμία ἐστίν, καὶ οὕτως ἀγαθὸς μέν, οὗ ἡ θέλησις ἠρεμεῖ ἐν τῷ ἀληθεῖ ἀγαθῷ· πονηρὸς δὲ αὖ, οὗ ἐν τῷ πονηρῷ.

## XXXV. — Περὶ ὀδύνης ἢ λύπης καθ' αὑτήν.

1.-2. Περὶ τὸ πρῶτον δείκνυται, ὅτι ἡ ὀδύνη πάθος ἐστὶ τῆς ψυχῆς, εἴτουν ἡ λύπη, τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ πρὸς Ῥωμαίους· „Λύπη μοί ἐστι πολλὴ καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ“· | εὐφροσύνη γὰρ καὶ f. 105v
λύπη αἰτίαν ἔχουσι τὴν ἔνδον ἀντίληψιν· ἡ δὲ ἐκ τῆς ἔξωθεν ἀντιλήψεως, ἡδονὴ καὶ ἡδονή εἰσιν· τῆς δὲ ἔνδον ἀντιλήψεως ἐπὶ πλείω ἑαυτὴν ἐκτεινούσης διὰ τὸ τὰ τῇ ἔξωθεν ἀντιλήψει ὑποπίπτοντα καὶ τῇ ἔσω ὑποπίπτειν, καὶ οὐ τὸ ἀνάπαλιν, τὸ αὐτὸ καὶ τοῖς ὀνόμασι συμβαίνει τῶν παθῶν, καὶ οὕτως ἡ λύπη ὀδύνης τί ἐστιν εἶδος, ὥσπερ ἡ εὐφροσύνη τῆς ἡδονῆς.

3. Τρίτον, ὅτι ἡ ὀδύνη ἐναντιοῦται τῇ ἡδονῇ. Τὸ δὲ τὴν λύπην ἡδονῆς εἶναι αἰτίαν, ὡς ἐν τῷ· „Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται“, οὐ προσίσταται· οὐδὲν γὰρ κωλύει θάτερον τῶν ἐναντίων αἰτίαν εἶναι τοῦ λοιποῦ κατὰ συμβεβηκός· τὸ δὲ παρὸν πένθος ἐπὶ τὴν παράκλησιν ἄγει τῆς αἰωνίου ζωῆς, ἢ ὅτι πενθῶν ὑπὲρ τῶν ἁμαρτιῶν τις, ἢ ὑπὲρ τῆς ἀγάπης τῆς δόξης ἐκείνης τῆς αἰνωνίου παρακλήσεως ἀξιοῦται, ἢ ὅτι ὑπὲρ τοῦ ταύτης τυχεῖν οὐ φεύγει τὸ κόπους καὶ στενοχωρίας δι' αὐτὴν ὑπομένειν· διχῶς γὰρ ἡ λύπη ἡδονῆς αἰτίας γίνεται οὕτως.

4. Τέταρτον, ὅτι τῇ τῆς θεωρίας ἡδονῇ οὐδεμία ἐναντία λύπη. Ἐν γὰρ ὀγδόῳ τῆς Σοφίας λέγεται· „Οὐκ ἔχει πικρίαν ἡ μετὰ τῆς σοφίας διατριβή, οὔτε τι ἀηδὲς ἡ πρὸς αὐτὴν ἕνωσις“. Τὸ δὲ τὴν κατὰ Θεὸν λύπην μετάνοιαν εἰς σωτηρίαν κατεργάζεσθαι οὐ προσίσταται· αὕτη γὰρ οὐ διὰ τὴν τοῦ Θεοῦ θεωρίαν ἐστίν, ἀλλ' ἔστι περί τινος ἑτέρου, ὃ ἡ διάνοια θεωρεῖ, τουτέστι περὶ τῆς ἁμαρτίας, ὃ θεωρεῖ ἡ διάνοια ὡς ἐναντίον τῇ θείᾳ ἀγάπῃ.

5. Πέμπτον, ὅτι ἰσχυροτέρα τῆς ἡδονῆς ἡ ὄρεξις ἢ ἡ τῆς λύπης τῆς φυσικῆς, ὅτι καὶ τὸ ἀγαθὸν ἰσχυρότερον τοῦ κακοῦ, ὥς φησι Διονύσιος.

---

11 Rom. 9, 2   13-14 *ἡ δὲ ... ἡδονή εἰσιν* sic A, où l'on ne trouve pas de sens acceptable. Il faudrait, d'après le texte de S. Thomas: *ἡ δὲ ἡδονὴ καὶ ἡ ὀδύνη ἐκ τῆς ἔξωθεν ἀντιλήψεως εἰσίν*   20 Matth. 5, 5   29 Sap. 8, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Ἕκτον, ὅτι ἡ ἔνδον ὀδύνη τῆς καρδίας μείζων ἐστὶ τῆς ἔξωθεν· τῆς γὰρ ἔξω οὔσης περὶ τῶν τῇ ζωῇ ἐναντιουμένων, αὕτη καὶ περὶ τούτων καὶ τῶν τῷ νοητῷ ἀγαθῷ ἐναντιουμένων ἐστίν, ἃ καὶ μόνα τῶν τῆς ζωῆς ἀγαθῶν αἱρετώτερα.

7. Ἕβδομον, ὅτι τέσσαρα εἴδη λύπης κατὰ τὸν Δαμασκηνόν· ἀκηδία, ἄχος εἴτουν ἀδημονία, ἔλεος καὶ φθόνος. Εἰ δὲ τοῦ ἐναντίου, τῆς ἡδονῆς, f. 106 οὐκ εἰσὶ πλείω εἴδη, | ἀλλ᾽ ἡ μὲν ἡδονὴ αἴτιον ἔχει τὸ ἀγαθόν, ὃ μοναχῶς λέγεται· ἡ δὲ λύπη τὸ κακόν, ὃ ποικίλον ἐστίν, ὡς Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων λέγει.

## XXXVI. — Περὶ τῶν αἰτίων τῆς λύπης.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὅ τις ἀπέβαλεν ἀγαθὸν οὐκ ἔστιν αἴτιον τῆς λύπης μᾶλλον ἢ τὸ συνεζευγμένον κακόν· κατὰ γὰρ τὸν Δαμασκηνόν, τὸ προσδοκώμενον κακὸν τὸν φόβον συνίστησι· τὸ δὲ παρόν, τὴν λύπην· ἄλλως τε ἐπειδὴ ἡ λύπη ἐν ταῖς ἠθικαῖς ὀρέξεσιν ὡς φυγὴ καὶ ἀποχώρησις ἔχει, ἡ δὲ ἡδονὴ ὡς δίωξις ἢ προσχώρησις, ὥσπερ ἡ ἡδονὴ πρὸς τὸ ἀγαθὸν πρότερον ἀφορᾷ, οὗ τυχεῖν ἐπείγεται, οὕτω καὶ ἡ λύπη εἰς τὸ κακὸν ᾧ συνέζευκται· ὥσπερ καὶ ἐν ταῖς φυσικαῖς κινήσεσιν ἡ μὲν προσχώρησις καθ᾽ αὑτὴν ὁρᾷ εἰς τὸ οἰκεῖον, ἡ δὲ ἀποχώρησις καθ᾽ αὑτὴν εἰς τὸ ἐναντίον, ὥσπερ τὸ βαρὺ καθαυτὸ ἀποχωρεῖ ἀπὸ τοῦ ἄνω τόπου, προσχωρεῖ δὲ φύσει ἐπὶ τὸν κάτω.

2. Δεύτερον, ὅτι ἡ ἐπιθυμία ἐστὶν αἰτία ὀδύνης καὶ λύπης· ἡ γὰρ τῆς ὀρέξεως ῥοπὴ πρὸς τὸ τυχεῖν τοῦ ἀγαθοῦ αἰτία ἐστὶ τῆς ῥοπῆς, ᾗ φεύγομεν τὸ κακόν, κἀκ τούτου συμβαίνει τὰς εἰς τὸ ἀγαθὸν ἀφορώσας ὀρεκτικὰς κινήσεις αἰτίας λέγεσθαι τῶν κινήσεων τῆς ὀρέξεως, αἳ πρὸς τὸ κακὸν ἀφορῶσιν.

3. Τρίτον, ὅτι ἡ τῆς ἑνότητος ἔφεσις λύπης ἐστὶν αἰτία· ὀδύνη γὰρ οὐδέν ἐστιν ἄλλο ἢ αἴσθησις διαιρέσεως ἢ φθορᾶς ἐν τῷ πάσχοντι. Οὐκ ἔστι δὲ λύπης αἰτία ἡ τῆς τυχούσης ἑνότητος ἔφεσις, ἀλλ᾽ ἐν ᾗ ἡ τῆς φύσεως τελειότης συνίσταται· τινὲς γὰρ ἑνότητες καὶ πληρώσεις οὐχ ἡδεῖαι, ὥσπερ αἱ τῶν σιτίων ἐν τοῖς πεπληρωμένοις ἀηδεῖς μὲν οὖν καὶ μαχόμεναι τῇ τοῦ πράγματος συστάσει καὶ τελειότητι.

4. Τέταρτον, ὅτι ἡ μείζων δύναμις αἰτία λύπης ἐστὶν καὶ αἰτία τῆς πρὸς τὸ κακὸν συναφείας, ὃ δὴ αἴτιον λύπης ὡς ἀντικείμενον, ὅταν ἐν τῷ ὀδυνωμένῳ μένῃ ἡ ἐπὶ τὸ ἐναντίον ῥοπὴ τῆς ὀρέξεως. Εἰ δὲ ἡ μείζων ἐπὶ τοσοῦτον ἰσχύσειεν ὥστε τὴν τῆς θελήσεως ἢ τῆς ὀρέξεως ῥοπὴν f. 106ᵛ ἀνελεῖν, | οὐδεμία ἂν εἴη βία καὶ μάχη, ὥστε οὐδὲ ὀδύνη· ὃ δῆλον ἐπὶ τῶν βαρέων σωμάτων, ἐν οἷς, φθαρείσης τῆς βαρύτητος ὑπὸ τοῦ δραστικωτέρου σώματος, τὸ ἄνω φέρεσθαι φυσικὸν γίνεται ἀντὶ τῆς ἐπὶ τὸ κάτω ῥοπῆς.

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

## XXXVII. — Περὶ τῶν τῆς ὀδύνης ἢ τῆς λύπης ἀποτελεσμάτων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ὀδύνη ἀναιρεῖ τὴν δύναμιν τοῦ μανθάνειν, ὡς Αὐγουστῖνος φησὶν ἐν Μονολόγοις· „Εἰ καὶ δριμυτάτῃ τῶν ὀδόντων ὀδύνῃ ταῖς ἡμέραις ἐκείναις ἐξηταζόμην, ἀλλ' ἐκεῖνα μόνα τῇ διανοίᾳ στρέφειν οὐκ ἐπαυόμην, ἅπερ ἴσως προμαθὼν ἔτυχον· ἄλλο δὲ μανθάνειν παντελῶς οὐ συνεχωρούμην, ἐφ' ὃ παντὸς λογισμοῦ χρείαν εἶχον".

Ἰστέον δὲ ὅτι ἡ σύμμετρος λύπη, τῇδε κἀκεῖσε φέρεσθαι τὸν νοῦν οὐκ ἐῶσα, πρὸς τὸ δέξασθαι παιδείαν λυσιτελεῖ, καὶ μάλιστα ἐκείνων δι' ὧν τις ἐλπίζει τῆς λύπης ἀπαλλαγήσεσθαι, ὡς ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Ὅταν ποιῇς κρίσιν ἐν τῇ γῇ, δικαιοσύνην μαθήσονται οἱ κατοικοῦντες τὴν οἰκουμένην", καὶ ἐφεξῆς· „Καὶ ἐν λύπῃ γογγυσμοῦ ἡ διδασκαλία σου τούτοις".

2. Δεύτερον, ὅτι τὸ τῆς ψυχῆς ἄχθος λύπης ἐστὶν ἀποτέλεσμα, εἰ καί ποτε ἀνίσταται ἡ ψυχὴ ἐκ τῆς κατὰ Θεὸν λύπης διὰ τὴν συνεζευγμένην ἐλπίδα τῆς τῶν ἁμαρτιῶν ἀφέσεως.

3. Τρίτον, ὅτι ἡ λύπη κωλύει πᾶσαν ἐνέργειαν, οὕτω τοῦ Φιλοσόφου λέγοντος ἐν δεκάτῳ τῶν ἠθικῶν.

4. Τέταρτον, ὅτι μάλιστα βλάβην ἐπάγει τῷ σώματι, ὡς ἐν ταῖς Παροιμίαις λέγεται· „Ψυχὴ εὐφραινομένη ἀνθεῖν τὴν ἡλικίαν ποιεῖ· πνεῦμα δὲ λυπούμενον ξηραίνει ὀστᾶ"· καὶ αὖθις· „Ὥσπερ σὴς ἱμάτιον, καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη καρδίαν ἀνδρὸς βλάπτει". Ὅτι δὲ ἡ λύπη ἀσώματον εἶναι ἐν τῇ ψυχῇ ἔχει, οὐ προσίσταται· ἐπεὶ γὰρ ἡ ψυχὴ φύσει τὸ σῶμα κινεῖ, ἡ ἀσώματος τῆς ψυχῆς κίνησις φύσει ἐστὶ τῆς σωματικῆς μεταβολῆς αἰτία, οὐχ ὥσπερ ἡ ἐν τῷ ἀέρι τῶν χρωμάτων ἀπόρροια οὐδὲν σῶμα χρώννυσιν· ἐκείνη γὰρ οὐκ ἔχει φυσικὴν τάξιν τοῦ κινεῖν τὸ σῶμα τὸ ἐν τῷ ἀέρι, τουτέστι χρωννύναι.

## XXXVIII. — Περὶ τῶν τῆς λύπης φαρμάκων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι πᾶσα ἡδονὴ πᾶσαν ὀδύνην ἢ λύπην f. 107
πραΰνει, οὕτω τοῦ Φιλοσόφου λέγοντος ἐν ὀγδόῳ τῶν ἠθικῶν, καὶ ἐλαύνειν μᾶλλον, εἰ σφοδρὰ εἴη. Εἰ δὲ μὴ πᾶσα ἡδονὴ πάσῃ λύπῃ ἐναντιοῦται, τὰ δὲ ἐναντία τῶν ἐναντίων ἰάματα, οὐ προσίσταται τοῦτο· εἰ γὰρ μὴ ἐναντιοῦται κατὰ τὸ εἶδος, ἀλλὰ κατὰ τὸ γένος, ὥστε κατὰ τὴν τοῦ ὑποκειμένου διάθεσιν πᾶσα λύπη ὑπὸ πάσης ἡδονῆς πραΰνασθαι δύναται.

2. Δεύτερον, ὅτι τὸ πένθος πραΰνει τὴν λύπην, καίτοι θαυμάσειεν ἄν τις εἰ τὸ ἀποτέλεσμα τὴν ἑαυτοῦ αἰτίαν ἐλαττοῖ· καὶ ὁ λόγος ἐστίν, ὅτι αὐτὴ ἡ τῆς αἰτίας πρὸς τὸ ἀποτέλεσμα σχέσις ἐναντιοῦται τῇ σχέσει

---

11 Is. 26, 9 12 Is. 26, 16 20 Prov. 17, 22 21 Prov. 25, 20

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ λυπηροῦ πρὸς τὸ λυπούμενον· πᾶν μὲν γὰρ ἀποτέλεσμα οἰκεῖόν ἐστι τῇ ἑαυτοῦ αἰτίᾳ, καὶ ἀκολούθως ἡδύ· τὸ δὲ λυπηρὸν ἐναντιοῦται τῷ λυπουμένῳ, καὶ διὰ τοῦτο τὸ τῆς λύπης ἀποτέλεσμα ἐναντίαν ἔχει σχέσιν πρὸς τὸν λυπούμενον, ἢ τὸ λυπηρὸν πρὸς αὐτόν, καὶ διὰ τοῦτο πραΰνεται ἡ λύπη διὰ τοῦ τῆς λύπης ἀποτελέσματος τῷ λόγῳ τῆς προειρημένης ἐναντιότητος.

3. Τρίτον, ὅτι καὶ ἡ λύπη τοῦ συναλγοῦντος φίλου, οὕτω τοῦ Φιλοσόφου λέγοντος ἐν ἐννάτῳ τῶν ἠθικῶν καὶ προστιθέντος δύο αἰτίας· πρώτην ὅτι, ἐπεὶ τῆς λύπης ἐστὶ βαρύνειν, φορτίον τινὸς ἔχει λόγον ἡ λύπη, ᾗ τις πιεζόμενος ἀπαλλαγῆναι ἐπιχειρεῖ· ὅταν τοίνυν τις αἰσθάνεται τινῶν ἐπὶ τῇ λύπῃ τούτῳ συναχθομένων, ὥσπερ τις φαντασία γίνεται τούτῳ καὶ ἄλλους τινὰς αὐτῷ τὸ βάρος συνδιαφέρειν καὶ κουφίζειν αὐτὸν ἐκείνου τοῦ βάρους, καὶ διὰ τοῦτο κουφότερον φέρει τὸ τῆς λύπης ἄχθος, ὥσπερ κἂν τοῖς σωματικοῖς ἄχθεσι· δευτέραν δὲ καὶ βελτίω, ὅτι διὰ τὸ συναλγεῖν τοὺς φίλους αὐτῷ αἰσθάνεται ἑαυτοῦ ὑπ' ἐκείνων φιλουμένου· τοῦτο δέ ἐστιν ἡδύ, ὡς προείρηται. Εἰ γοῦν πᾶσα ἡδονή, ὡς εἴρηται, τὴν λύπην πραΰνει, ἕπεται τὸν συναλγοῦντα φίλον τὴν λύπην πραοτέραν ποιεῖν, καί-
f. 107v τοι δόξειεν ἂν τοὐναντίον διχῶς· πρῶτον, ὅτι εἰ τῶν ἐναντίων | ἐναντία τὰ ἀποτελέσματα, ὥσπερ ὅταν πολλοὶ συνήδωνται, μείζων ἐστὶν ἐν ἑκάστῳ ἡ εὐφροσύνη· ἐξάπτονται γὰρ δι' ἀλλήλων· οὕτω καὶ ὅταν συλλυπῶνται, μείζων ἡ λύπη γίνεται· δεύτερον, ὅτι εἰ φιλίας ἐστὶ τὸ τὴν ἀγάπην ἀνταποδιδόναι, ὁ δὲ συναλγῶν φίλος ἀλγεῖ ἐπὶ τῇ λύπῃ τοῦ φιλουμένου φίλου, αὐτὴ ἄρα ἡ ὀδύνη τοῦ συναλγοῦντος φίλου αἰτία ἔσται τῷ πρὶν λυπουμένῳ φίλῳ ἐπὶ τῷ ἰδίῳ κακῷ λύπης ἄλλης καὶ διὰ τὸ τὸν φίλον λυπεῖσθαι, ὥστε διπλασίαν γίνεσθαι. Ἀλλὰ πρὸς μὲν τὸ πρῶτον δεῖ λέγειν, ὅτι ἐν ἑκατέρῳ ἡ φιλία δήλη καθίσταται ἔν τε τῷ συγχαίρειν καὶ ἐν τῷ συναλγεῖν, καὶ διὰ τοῦτο ἑκάστῳ τῷ τῆς αἰτίας λόγῳ ἡδὺ ἀποδείκνυται· πρὸς δὲ τὸ δεύτερον, ὅτι αὐτὴ ἡ τοῦ φίλου ὀδύνη καθ' ἑαυτὴν ἀνιαρὰ ἂν ἐδόκει, ἡ δὲ τῆς αἰτίας ἐπίσκεψις, ἥ ἐστιν ἔρως, μᾶλλον εὐφραίνει.

4. Τέταρτον, ὅτι ἡ τῆς ἀληθείας θεωρία πραΰνει τὴν λύπην, ὅτι ἐν ταύτῃ μεγίστη ἐστὶν ἡδονή, καὶ τοσούτῳ μᾶλλον πραΰνει, ὅσῳ καὶ τελεωτέρως τις τῆς σοφίας ἐπιθυμεῖ· καὶ διὰ τοῦτο οἱ ἄνθρωποι διὰ τὴν θείαν θεωρίαν καὶ τὴν μέλλουσαν μακαριότητα χαίρουσιν ἐν ταῖς θλίψεσι, κατὰ τὸ ἐν πρώτῳ τῆς Ἰακώβου· „Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν εἰς πειρασμοὺς ποικίλους ἐμπέσητε“· καὶ τὸ μεῖζον, ὅτι καὶ ἐν ταῖς σωματικαῖς βασάνοις εὑρίσκεται τοιαύτη χαρά, ὡς καὶ ὁ μάρτυς Τιβούρτιος γυμνοῖς τοῖς πέλμασιν ἡμμένοις ἄνθραξιν ἐπιβὰς ἔφη· „Δοκεῖ μοι ῥόδων ἄνθεσιν ἐπιβῆναι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ“. Τὸ δὲ ἐν τῷ Ἐκκλη-

---

34 Iac. 1, 2

Ε.Υ.Δ της Επ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σιαστῇ· „Ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα“, ἢ διὰ τὴν δυσχέρειαν καὶ τὸ ἀτελὲς τῆς εὑρισκομένης ἀληθείας εἴρηται, ἢ ὅτι διὰ τῆς ἐπιστήμης γινώσκει ὁ ἄνθρωπος πολλὰ τῇ θελήσει ἐναντιούμενα, καὶ οὕτω κατὰ τὰ γνωστὰ παραδείγματα ὀδύνης αἰτία ἐστὶν ἡ γνῶσις· κατὰ δὲ τὴν θεωρίαν τῆς ἀληθείας, ἡδονῆς.

5. Πέμπτον, ὅτι καὶ ὕπνῳ καὶ λουτροῖς ἡ λύπη πραΰνεται· ἡ γὰρ ὀφειλομένη τοῦ σώματος κατάστασις, καθόσον αὐτῆς αἰσθανόμεθα, ἡδονῆς αἰτία ἐστί, καὶ ἀκολούθως τὴν λύπην πραΰνει.

## XXXIX. — Περὶ τῆς ἀρετῆς καὶ κακίας τῆς λύπης. f. 108

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι οὐ πᾶσα λύπη κακόν, εἴ γε ἐπὶ τῷ κακῷ ἡδονὴ κακόν· δεῖ γὰρ τὴν ἐπὶ τῷ κακῷ λύπην ἐξ ἀνάγκης ἀγαθὸν εἶναι.

Ἔτι, ἁπλῶς μὲν καὶ καθ' αὑτὸ πᾶσα λύπη κακόν· κωλύεται γὰρ δι' αὐτῆς ἡ ἐπὶ τῷ ἀγαθῷ τῆς ὀρέξεως ἠρεμία· ἐξ ὑποθέσεως δὲ ἀγαθόν ἐστιν, ὥσπερ καὶ ἡ αἰσχύνη, ὑποτεθέντος αἰσχρόν τι πραχθῆναι. Τὸ γὰρ μὴ λυπεῖσθαι ἢ ὀδυνᾶσθαι ἐπὶ τῷ παρόντι κακῷ ἢ δι' ἀναισθησίας συμβαίνει, ἢ διὰ τὸ μὴ νομίζειν ἐκεῖνο ἐναντιοῦσθαι, ὧν ἑκάτερον κακόν· καὶ διὰ τοῦτο τὸ ὀδυνᾶσθαι ἢ λυπεῖσθαι, ὑποκειμένης τῆς τοῦ κακοῦ παρουσίας, εἰς τ' ἀγαθὸν ἀνήκει. Ἡ γὰρ αἴσθησις ἢ ἀπόπεμψις τοῦ κακοῦ μαρτύριόν ἐστι τοῦ τῆς φύσεως ἀγαθοῦ.

2. Δεύτερον, ὅτι ἡ σύμμετρος ἔχει λόγον σεμνοῦ ἀγαθοῦ, καὶ ἡ κατὰ τὸν λόγον· ὁ γὰρ λόγος ῥίζα τοῦ σεμνοῦ ἀγαθοῦ.

3. Τρίτον, ὅτι καὶ λόγον ἔχει χρησίμου. Εἰ γὰρ καὶ λέγεται ἐν τῷ Ἐκκλησιαστῇ· „Πολλοὺς ἀπέκτεινεν ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ“, τὴν ἄμετρον λέγει, ἢ τὴν ψυχὴν καταπίνει, καὶ ἀκίνητον ποιεῖ τὴν διάνοιαν, καὶ τὴν τοῦ κακοῦ κωλύει φυγήν· περὶ δὲ τῆς εὐλόγου καὶ μετρίας εἴρηται ἐν αὐτῷ τῷ Ἐκκλησιαστῇ· „Καρδία σοφῶν, ὅπου λύπη· καρδία δὲ μωρῶν, ὅπου χαρά“.

4. Τέταρτον, ὅτι οὐκ ἔστιν ἔσχατον κακὸν ἡ λύπη. Ἡ γὰρ ἁμαρτία χείρων ἐστὶ τῆς τιμωρίας. Εἰ δὲ ἡδονή τις ἐστὶ τὸ ἄριστον, ἡ τῆς εὐδαιμονίας, τῷ δὲ ἀρίστῳ τὸ χείριστον ἀντίκειται, ὡς ἂν δόξειεν, ἀλλ' εἰδέναι δεῖ, ὅτι ἐν μὲν πάσῃ ὀδύνῃ ἡ λύπῃ ἔστι τι ἀγαθόν, οὗ τῇ στερήσει γενέσθαι δύναται χεῖρον· οὐκ ἐν πάσῃ δὲ ἡδονῇ ἔστι τι κακόν, οὗ τῇ ἀποβολῇ δύναται γενέσθαι βέλτιον· ὅθεν ἡδονήν μέν τινα εἶναι δυνατὸν ἔσχατον ἀγαθὸν τοῦ ἀνθρώπου ὃν εἴρηται τρόπον, λύπην δὲ ἀδύνατον εἶναι ἄκρον αὐτοῦ κακόν· τοῦτο δὲ ἅπαν συμβαίνει, διότι δύο ἀγαθά εἰσι κοινά, λύπη καὶ ἡδονή, τουτέστιν ἡ ἀληθὴς | κρίσις περὶ τοῦ ἀγαθοῦ καὶ f. 108v

---

1 Eccle. 1, 18 25 Eccli. 30, 25 28 Eccle. 7, 5

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

κακοῦ, καὶ ἡ ὀφειλομένη τῆς θελήσεως τάξις προσιεμένη μὲν τὸ ἀγαθόν, ἀποπεμπομένη δὲ τὸ κακόν.

## XL. — Περὶ τῶν τοῦ θυμικοῦ παθῶν, καὶ πρῶτον περὶ τῆς ἐλπίδος, εἰ ταὐτὸν τῇ ἐπιθυμίᾳ.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ἐλπὶς οὐκ ἔστι ταὐτὸν τῇ ἐπιθυμίᾳ· τῶν γὰρ διαφόρων δυνάμεων διάφορά εἰσι καὶ τὰ πάθη εἴδει διαφέροντα· ἀλλ' ἡ ἐλπίς ἐστιν ἐν τῷ θυμικῷ.

Ἔτι, περὶ τὸ τῆς ἐλπίδος ἀντικείμενον. Ἐπεὶ τὸ τοῦ πάθους εἶδος ἐκ τοῦ ἀντικειμένου δεῖ θεωρεῖν, τέσσαρά τινα θεωροῦνται· τὸ ἀγαθόν, καὶ τούτῳ διαφέρει τοῦ φόβου, ὅς ἐστι τοῦ κακοῦ· τὸ μέλλον, καὶ τούτῳ διαφέρει τῆς εὐφροσύνης, ἥ ἐστι τοῦ παρόντος ἀγαθοῦ· τὸ μέγα καὶ μετὰ δυσχερείας τευκτόν, καὶ τούτῳ διαφέρει τῆς ἐπιθυμίας, ἥ ἐστι τοῦ ἀγαθοῦ μέλλοντος ἀπολελυμένως· οὐδεὶς γὰρ λέγεταί τι ἐλπίζειν, οὗ ἐστιν ἐπ' αὐτῷ τυχεῖν· ὅθεν καὶ ἔστιν ἡ ἐλπὶς ἐν τῷ θυμικῷ· τελευταῖον, τὸ καὶ δυνατὸν εἶναι, καὶ τούτῳ διαφέρει τῆς ἀπογνώσεως. Οὐκοῦν προϋποτίθησιν ἡ ἐλπὶς τὴν ἐπιθυμίαν, ὡς πάντα τὰ τοῦ θυμικοῦ πάθη τὰ τοῦ ἐπιθυμητικοῦ προϋποτιθεῖσιν, ὡς εἴρηται.

2. Δεύτερον, ὅτι τῆς ὀρεκτικῆς ἐστι δυνάμεως· τὸ γὰρ ἀγαθόν, οὗ ἐστιν ἡ ἐλπίς, οὐκ ἔστι τοῦ γνωστικοῦ ἀντικείμενον. Ἐπεὶ δὲ εἰς τὸ δυνατὸν ἀφορᾷ, εἰ μὲν τὸ τῇ ἰδίᾳ δυνάμει δυνατὸν ἐλπὶς λέγεται· εἰ δὲ εἰς ὃ δεῖται βοηθείας τινὸς δυνάμεως ἄλλου, προσδοκία, ὥστε λέγεσθαι προσδοκᾶν ὡς ἂν πρὸς ἄλλον ὁρᾶν· καὶ τῆς ἀντιληπτικῆς δυνάμεως οὐκ εἰς τὸ ἀγαθὸν μόνον ὁρώσης τὸ ἐφετόν, ἀλλὰ καὶ εἰς τὸν οὗ τῇ δυνάμει τούτου τυχεῖν ἐλπίζει, ἔσθ' ὅτε καὶ ἡ ἐλπὶς προσδοκία λέγεται.

3. Τρίτον, ὅτι καὶ ἐν τοῖς ἀλόγοις ἐστὶν ἡ ἐλπίς, ὁρμῇ τινι φυσικῇ, καὶ ἀπόγνωσις· ὃ δῆλον, ἐπειδὰν τοῖς θηρευτικοῖς τῶν ζῴων ἐγγύθεν ἢ πόρρωθεν φαίνοιτο τὸ θήραμα. Ἔγκειται δὲ καὶ τοῖς ἀλόγοις φυσική τις ὁρμή, ᾗ κινοῦνται ἐπὶ τὸ μέλλον, καίτοι τοῦτο μὴ γινώσκοντα, καὶ ἔστιν αὕτη παρὰ τοῦ θείου νοῦ, ὃς γινώσκει τὰ μέλλοντα.

39 4. Τέταρτον, | ὅτι ἡ ἀπόγνωσις ἐναντία τῇ ἐλπίδι, οὐ προσισταμένου τοῦ ἑνὶ ἓν ἐναντίον εἶναι δεῖν· ὁ γὰρ φόβος ἐναντιοῦται τῇ ἐλπίδι κατὰ τὴν ἐναντιότητα τῶν ἀντικειμένων, τουτέστι τοῦ ἀγαθοῦ καὶ κακοῦ· ἡ δὲ ἀπόγνωσις κατὰ μόνην τὴν τῆς προσχωρήσεως καὶ ἀποχωρήσεως ἐναντιότητα.

5. Πέμπτον, ὅτι ἡ πεῖρα αἰτία ἐλπίδος· ἐν γὰρ τῷ τετάρτῳ τῶν ἠθικῶν λέγεται· „Εὐέλπιδές εἰσι διὰ τὸ πολλάκις καὶ πολλοὺς νενικηκέναι“· τοῦτο δὲ πείρας ἐστίν. Εἰ δὲ ἡ πεῖρα τῆς γνωστικῆς ἐστι δυνάμεως,

---

18 *προϋποτιθεῖσιν* sic A

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐδὲν θαυμαστόν· ἡ γὰρ πεῖρα ἐν τοῖς πρακτοῖς οὐ μόνον ἐπιστήμης ἐστὶν αἰτία, ἀλλὰ καὶ ἔθους, ὃ ῥᾴονα ποιεῖ τὴν ἐνέργειαν. Καὶ αὕτη δὲ ἡ νοερὰ ἀρετὴ ὁρᾷ πρὸς τὸ δύνασθαι ῥᾷον ἐνεργεῖν· δείκνυσι γάρ τι δυνατὸν εἶναι, καὶ οὕτω ἐλπίδος ἐστὶν αἰτία.

6. Ἕκτον, ὅτι ἡ νεότης καὶ ἡ μέθη ἐλπίδος αἰτία· ἐν γὰρ τρίτῳ τῶν ἠθικῶν φησὶν ὁ Φιλόσοφος, ὅτι οἱ μεθύοντες εὐέλπιδές εἰσι, καὶ ἐν δευτέρῳ τῆς ῥητορικῆς, ὅτι οἱ νέοι εὐέλπιδές εἰσιν, καὶ τριῶν, ὡς ἐκεῖ προστίθησι, χάριν κατὰ τὰ τρία τοῦ ἀγαθοῦ ἰδιώματα, ὃ τῆς ἐλπίδος ἐστὶν ἀντικείμενον· τὸ μέλλον, τὸ ἀξιόλογον καὶ τὸ δυνατόν· οἱ γὰρ νέοι, τοῦ μὲν μέλλοντος ἔχοντες πολύ, τοῦ δὲ παρελθόντος ὀλίγον, ὀλίγα μὲν ζῶσι τῇ μνήμῃ, τῇ δὲ ἐλπίδι τὸ πλέον.

Ἔτι, διὰ τὴν θέρμην τῆς φύσεως πολλὰ πνεύματα ἔχοντες, κἀντεῦθεν εὐρυνόμενοι τὴν καρδίαν, ἐπὶ τὰ μεγάλα ἐξορμῶσι ῥᾳδίως· διὰ γὰρ τὸν τῆς καρδίας πλατυσμὸν ἐπὶ τὰ μεγάλα τις ἐξορμᾷ.

Ἔτι, δι' ἀπειρίαν τῶν κωλυμάτων καὶ τῆς ἀσθενείας ῥᾳδίως νομίζουσιν εἶναί τι δυνατόν, ὧν διὰ τὰ δύο, τὰ δεύτερα, καὶ οἱ μεθύοντες εὐέλπιδες· κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ οἱ εὐήθεις καὶ μὴ χρώμενοι βουλῇ πᾶσιν ἐπιχειροῦσι καὶ εἰσὶν εὐέλπιδες διὰ τὸ τρίτον ῥητόν, τὴν τῶν κωλυμάτων καὶ τῶν κινδύνων καὶ τῆς σφῶν ἀσθενείας ἀνεπισκεψίαν.

## XLI. — Περὶ φόβου.

1. Περὶ δ πρῶτον δείκνυται, ὅτι πάθος ἐστὶ ψυχῆς ὁ φόβος· ἔστι γὰρ κίνησις | τῆς ὀρεκτικῆς δυνάμεως, καὶ οὐκ αὐτῆς μόνον ἀλλὰ καὶ τῆς f. 109v αἰσθητικῆς ὀρέξεως· γίνεται γὰρ μετά τινος μεταβολῆς τοῦ ὀργάνου, ἔχει δὲ καὶ σχέσιν πρὸς τὸ κακόν, καθόσον τὸ κακὸν νικᾷ τινά. Διὰ ταῦτα γοῦν ἀληθέστατον πάθος ἐστίν.

2.-3. Δεύτερον, ὅτι εἰδικὸν πάθος· ἀντιδιῄρηται γὰρ τοῖς ἄλλοις πάθεσι τῆς ψυχῆς εἰδικόν τε ἀντικείμενον ἔχει, τὸ μέλλον καὶ δύσκολον κακόν, ᾧ ἀντιστῆναι ἀδύνατον.

4. Τρίτον, ὅτι ἓξ εἰσιν αὐτοῦ εἴδη κατὰ τὸν Δαμασκηνόν· ἢ γὰρ τὸν βαρύνοντα τὴν φύσιν πόνον ἐκφεύγει τις, καὶ τοῦτό ἐστιν ἔκλυσις· ἢ φοβεῖταί τι αἰσχρὸν ὡς πραχθησόμενον, καὶ τοῦτ' ἔστιν ἐντροπή, ἤ, τοῦ πεπραγμένου αἰσχροῦ ἀποστροφὴ οὖσα, αἰσχύνη λέγεται· καὶ ταῦτα μὲν ὅσον πρὸς τὸ κακὸν τὸ ἐν τῇ ἐνεργείᾳ τοῦ ἀνθρώπου συμβαῖνον. Εἰ δ' ἔξωθεν εἴη τὸ κακόν, ἢ τῷ λόγῳ τοῦ μεγέθους ἐστὶν ἀνύποιστον, ὥστε μὴ δύνασθαι τὴν ἀπόβασιν αὐτοῦ κατανοεῖν, καὶ οὕτως ἐστὶ θαῦμα· ἢ τῷ λόγῳ τοῦ ἀήθους, κἂν μὴ μέγα ᾖ, καὶ οὕτως ἐστὶν ἔκπληξις, ἧς αἴτιον ἡ ἀήθης φαντασία· ἢ τῷ λόγῳ τοῦ ἀπρονοήτου, καὶ λέγεται ἀγωνία, ὥσπερ τὰ μέλλοντα δυστυχήματα φοβούμεθα.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XLII. — Περὶ τοῦ ἀντικειμένου τοῦ φόβου.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ κακὸν ἀντικείμενόν ἐστι τοῦ φόβου.

2. Δεύτερον, ὅτι τὸ κακὸν τῆς φύσεως, εἴπερ ὁ θάνατος, κατὰ τὸν Φιλόσοφον ἐν τρίτῳ τῶν ἠθικῶν, φοβερώτατον. Δυοῖν δὲ τρόπων ὄντων ᾧ τὸ κακὸν τῆς φύσεως λέγεται, ἢ ὅταν ἀπ' αἰτίας ᾖ φυσικῆς, ὥσπερ ὁ φυσικὸς θάνατος καὶ αἱ ὅμοιαι τῶν στερήσεων, αἳ φυσικὰ κακὰ λέγονται ὡς τῆς φύσεως ἀποτελέσματα καὶ ὡς στεροῦσαι τοῦ ἀγαθοῦ τῆς φύσεως· ἢ ὅταν ἀπ' αἰτίας οὐ φυσικῆς, ὡς ὁ παρὰ τῶν διωκτῶν ἐπαγόμενος θάνατος, καὶ κατ' ἄμφω τὸ τῆς φύσεως κακὸν πῇ μὲν φοβερόν ἐστι, πῇ δὲ οὔ. Ὅταν γὰρ ὡς ἐγγὺς ὂν καταλαμβάνηται, μετὰ τοῦ ἐλπίζειν μέντοι διαδράσειν, φοβερὸν ἔσται· ἄλλως δὲ οὔ· τότε γὰρ πολὺ διεστὼς φανταζόμεθα μηδὲ μέλλειν, καὶ οὐ φροντίζομεν, ὡς ἐπὶ τοῦ θανάτου οἱ πλείους·
f. 110 | καὶ τὸ ἐξ ἀνάγκης, κἂν ἤδη μέλλοι, ὡς μὴ μέλλον νομίζομεν διὰ τὴν ἀνάγκην οἱ ἄνθρωποι· ἢ ποιεῖν νομίζειν ἐκεῖνο ὡς παρόν, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῇ ῥητορικῇ, ὅτι οἱ ἤδη τυμπανιζόμενοι οὐ φοβοῦνται τὴν τοῦ θανεῖν ἀνάγκην ὁρῶντες ἐπικειμένην, ὥστε τὸ τὴν τοῦ μέλλοντος κακοῦ φαντασίαν ἀναιροῦν ἀναιρεῖ καὶ τὸν φόβον, ἐφόσον ὁ φόβος πρόεισιν ἐκ φαντασίας τοῦ μέλλοντος κακοῦ.

4. Τρίτον, ὅτι καὶ ὁ φόβος δύναται εἶναι φοβερός, ὡς δυνάμεθα ἐρᾶν τοῦ ἔρωτος καὶ ὀδυνᾶσθαι ἐπὶ τῇ ὀδύνῃ, καὶ τοῦτο ὅταν ὁ φόβος ἀπ' αἰτίας ἔξωθεν προΐῃ, καθό ἐστι πάθος τι ἑπόμενον τῇ φαντασίᾳ τοῦ ἀπολελυμένου κακοῦ· τότε γὰρ φοβούμεθα τὸν φόβον, ὥστε δηλονότι μὴ ἐπηρτῆσθαι ἡμῖν τὴν τοῦ φοβεῖσθαι ἀνάγκην διά τινα ἐναντιότητα μεγάλου κακοῦ. Ὅτε δὲ ὑπόκειται τῇ ἡμετέρᾳ θελήσει καὶ δυνατόν ἐστιν αὐτὸν ἀπώσασθαι, οὐκ ἔστι φοβερός.

5. Τέταρτον, ὅτι τὰ ἀήθη καὶ αἰφνίδια φοβερώτερα· εἴ γε τὸ ἔθος καὶ ἡ πεῖρα αὔξονται τὴν ἐλπίδα, ὡς εἴρηται, μειοῦσιν ἐξ ἀνάγκης τὸ ἀντικείμενον αὐτῇ, τὸν φόβον.

6. Πέμπτον, ὅτι τὰ ἄφυκτα φοβερώτερα· τὸ γὰρ αὖξον τὸ κακὸν αὔξει καὶ τὸν φόβον· αὔξεται δὲ τὸ κακὸν οὐ μόνον κατὰ τὸ εἶδος, ἀλλὰ καὶ κατὰ τὰς περιστάσεις ἐν αἷς ἐστι καὶ τὸ συνεχὲς ἢ ἡ διάρκεια, καὶ μάλιστα· ὅθεν, ὅσα μετὰ τὸ ἐπελθεῖν οὐ δύνανται ἔχειν ἀπαλλαγήν, ἢ μὴ ῥᾳδίαν, ὡς αἰώνια λαμβανόμενα, μάλιστά εἰσι φοβερά.

## XLIII. — Περὶ τῆς αἰτίας τοῦ φόβου.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὁ ἔρως ἐστὶν αἰτία τοῦ φόβου. Εἰ γὰρ καὶ κατὰ συμβεβηκὸς ὁ φόβος ἐστὶν αἴτιος τοῦ ἔρωτος, καθόσον ἐρᾷ οὐκ εἰς τὸ κακόν, ἀλλὰ εἰς τὸ δι' οὗ τὸ τοιοῦτον ἔπεισι κακόν, ὥσπερ ὁ ἄνθρωπος, φοβούμενος ὑπὸ τοῦ Θεοῦ κολασθῆναι, φυλάσσει τὰς ἐντολὰς

ΙΩΑΝΝΙΝΑ 2006

αὐτοῦ καὶ οὕτως ἐλπίζειν ἄρχεται, ἡ δὲ ἐλπὶς εἰσάγει τὸν ἔρωτα, | ἀλλὰ f. 110v
καθ' αὑτὸν ὁ ἔρως τοῦ φόβου αἴτιος γίνεται· καθ' αὑτὸν γὰρ ὁρᾷ τὸ κακόν, ὃ φεύγει· τοῦτο δὲ ἀντίκειται καθ' αὑτὸ ἐραστῷ τινι ἀγαθῷ.

2. Δεύτερον, ὅτι καὶ ἡ ἔνδεια φόβου αἰτία, ὥσπερ ἡ τῶν ἔξωθεν ἀγαθῶν εὐπορία τοῦ φόβου ἐστὶν ἀναιρετική.

## XLIV. — Περὶ τῶν ἀποτελεσμάτων τοῦ φόβου.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὁ φόβος ποιεῖ συστολήν, πλὴν οὐχ ὁμοίως τοῖς ὀργιζομένοις· ἐν γὰρ τοῖς ὀργίλοις, διὰ τὴν θέρμην καὶ τὴν λεπτότητα τῶν πνευμάτων, ἃ προΐασι ἐκ τῆς ὀρέξεως τῆς ἀντιλυπήσεως, ἡ τῶν πνευμάτων κίνησις ἀπὸ τῶν ταπεινοτέρων ἐπὶ τὰ ὑψηλότερα γίνεται, ὡς συναθροίζεσθαι τὴν θέρμην καὶ τὰ πνεύματα περὶ τὴν καρδίαν, ἐξ οὗ συμβαίνει τοὺς ὀργίλους ὁρμητικοὺς εἶναι καὶ τολμηροὺς πρὸς τὸ ἐπιπηδᾶν· ἐν δὲ τοῖς φοβουμένοις διὰ τὴν ψυχρότητα τῶν πνευμάτων παχυνομένων ἡ τούτων κίνησις ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ ταπεινότερα γίνεται· ἡ δὴ ψυχρότης συμβαίνει διὰ τὴν φαντασίαν τῆς ἀσθενείας τῆς δυνάμεως, καὶ διὰ τοῦτο οὐ πολλαπλασιάζονται ἡ θέρμη καὶ τὰ πνεύματα περὶ τὴν καρδίαν, ἀλλὰ μᾶλλον ἐκεῖθεν ἀποδιδράσκουσιν, καὶ διὰ τοῦτο οἱ φοβούμενοι οὐ μεθ' ὁρμῆς ἐπιπηδῶσιν, ἀλλὰ μᾶλλον φεύγουσιν.

2. Δεύτερον, ὅτι ὁ φόβος ποιεῖ βουλευτικούς, κατὰ τὸν Φιλόσοφον ἐν δευτέρῳ τῆς ῥητορικῆς, ἀπὸ τῆς θελήσεως ἢ τῆς φροντίδος τοῦ βουλεύεσθαι· βουλευόμεθα γὰρ περὶ τῶν μεγάλων ἐν οἷς ὥσπερ ἡμῖν αὐτοῖς ἀπιστοῦμεν, τοιαῦτα δὲ τὰ φοβερά· ἀπὸ δὲ τῆς εὐπορίας καὶ δυνάμεως τοῦ καλῶς βουλεύεσθαι, οὐχί· τοὐναντίον μὲν οὖν ἔσθ' ὅτε. Τῷ γὰρ ἀσθενὲς τὸ κριτήριον ἔχοντι, ὅσον τὸ καθ' αὑτόν, ὁ φόβος μειοῖ τὴν ἐνυπάρχουσαν ὁπωσοῦν τοῦ καλῶς βουλεύεσθαι δύναμιν· τῷ γὰρ φοβουμένῳ φοβερώτερα τὰ πράγματα δοκεῖ, καὶ τῷ ἐρῶντι βελτίω, καὶ ὅλως τῷ κατά τι πάθος διατεθειμένῳ δοκεῖ τι τῆς ἀληθείας μεῖζον ἢ ἔλαττον.

3. Τρίτον, ὅτι ὁ φόβος ποιεῖ τρόμον καὶ ὠχρίασιν καὶ τῶν ὀδόντων ἦχον, κατὰ τὸν Τούλλιον. Εἰ δέ τις λέγοι τὸν μὲν τρόμον | διὰ ψυχῆς f. 111
συμβαίνειν· ὁρῶμεν γὰρ τοὺς κατεψυγμένους τρέμοντας· τὸν δὲ φόβον θέρμης μᾶλλον ξηραινούσης αἴτιον εἶναι δοκεῖν, οὗ σημεῖον τοὺς τὰ μέγιστα φοβουμένους διψᾶν, ὡς δῆλον ἐν τοῖς ἀπαγομένοις εἰς θάνατον· ἀλλ' εἰδέναι δεῖ, ὅτι τῆς θέρμης ἀπὸ τῶν ἔξωθεν ἐπὶ τὰ ἔνδον συσταλείσης, πολλαπλασιάζεται ἔνδον ἡ θέρμη, καὶ μάλιστα περὶ τὰ κάτω, τουτέστι τὰ θρεπτικά, καὶ διὰ τοῦτο τοῦ ὑγροῦ ἀναλωθέντος καταλείπεται τὸ ξηρόν, καὶ πολλάκις λύσις τῆς κοιλίας καὶ οὔρου πρόεσις, ἐνίοτε δὲ καὶ σπέρματος· ἢ ἡ τοιαύτη τῶν περιττωμάτων ἔκκρισις συμβαίνει διὰ τὸ συνέλκεσθαι τὴν γαστέρα καὶ τοὺς ὄρχεις, ὥς φησιν ὁ Φιλόσοφος ἐν τοῖς προβλήμασιν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

4. Τέταρτον, ὅτι ὁ φόβος οὐ κωλύει τὴν ἀγαθὴν ἐνέργειαν, ὅσον κατὰ τὴν ψυχήν, εἰ σύμμετρος εἴη· συνεργεῖ μὲν οὖν, προσεκτικώτερον ποιεῖ καὶ βουλευτικώτερον· εἰ γὰρ ἀποτείνοιτο ὥστε ταράττειν, τὸν λογισμὸν κωλύει. Κατὰ δὲ τὰ σωματικὰ ὄργανα ἀεὶ πέφυκε κωλύειν τὴν ἔξωθεν ἐνέργειαν διὰ τὴν ἔνδειαν τοῦ θερμοῦ, ἣ διὰ τὸν φόβον, [ὃς] ἐν τοῖς ἔξω μέλεσι συμβαίνει.

## XLV. — Περὶ τόλμης.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἐναντία τῷ φόβῳ ἡ τόλμα· πλεῖστον γὰρ διεστήκασιν ἐν τῷ αὐτῷ γένει, ὅτι ὃ φεύγει ὁ φόβος ὑπερβάλλον διὰ τὴν μέλλουσαν βλάβην, τούτῳ ἐπιπηδᾷ ἡ τόλμα διὰ τὴν νίκην, ᾗ ἐλπίζει ὑπερβαλέσθαι τὸν κίνδυνον.

2. Δεύτερον, ὅτι ἕπεται τῇ ἐλπίδι.

3. Τρίτον, ὅτι οὐκ ἔστιν ἀσθένεια τῆς τόλμης αἰτία, τοὐναντίον μὲν οὖν· γίνεται γάρ, ὅταν συλληφθῇ ἐν τῇ φαντασίᾳ ἐλπὶς τῶν σωστικῶν ὡς ἐγγὺς ὄντων, ἢ ἀφοβίᾳ τῶν βλαπτικῶν ὡς ἢ μὴ ὄντων, ἢ πόρρω, ἢ ἀσθενῶν ὄντων. Γίνεται δέ ποτε καὶ διὰ μέθην τόλμα, οὐ καθὸ ἐστιν ἀσθένεια, ἀλλὰ καθὸ πλατυσμὸν τῆς καρδίας ποιεῖ καὶ ὑπόληψιν μεγέθους τινός.

4. Τέταρτον, ὅτι οἱ τολμηροὶ προθυμότεροί εἰσιν ἐν τῇ ἀρχῇ ἢ ἐν αὐτοῖς τοῖς δεινοῖς.

f. 111v

## XLVI. — Περὶ ὀργῆς καθ' αὑτήν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ὀργὴ πάθος ἐστὶν εἰδικόν. Ὅτι τὸ καθόλου διχῶς· ἢ κατὰ τὴν κατηγορίαν, ὡς τὸ ζῷον πρὸς τὰ εἴδη τῶν ζῴων· ἢ κατ' αἰτίαν, οἷον ὁ ἥλιος ἐν τοῖς γεννητοῖς. Ὡς γὰρ τὸ γένος περιέχει πολλὰς δυνάμει διαφορὰς κατὰ τὴν τῆς ὕλης ὁμοιότητα, οὕτω καὶ ἡ ποιητικὴ αἰτία περιέχει πολλὰ ἀποτελέσματα κατὰ τὴν ποιητικὴν δύναμιν. Λέγεται δὲ οὐ κυρίως καὶ τὸ ἐκ συνδρομῆς πολλῶν αἰτίων ἀποτέλεσμα, ἐπεὶ πᾶσαι μένουσι τρόπον τινὰ ἐν τῷ ἀποτελέσματι ἐνεργείᾳ, καὶ περιέχονται ὑπ' αὐτοῦ. Κατὰ τὸν πρῶτον τρόπον ἡ ὀργὴ οὐκ ἔστι καθόλου, ἀλλ' ἀντιδιῃρημένον τοῖς ἄλλοις πάθεσιν· οὐδὲ κατὰ τὸν δεύτερον· κατὰ δὲ τὸν τρίτον, καθόσον ἐκ συνδρομῆς πολλῶν ἀποτελεῖται παθῶν, λύπης δηλονότι ἐπενεχθείσης, καὶ ἐπιθυμίας, καὶ ἐλπίδος τοῦ ἀμύνεσθαι, εἰ μὴ πολὺ ὑπερέχει τὸ τὴν βλάβην ὑπενηνοχὸς πρόσωπον· τότε γὰρ λύπη μόνον ἀκολουθεῖ.

2. Δεύτερον, ὅτι τὸ ἀγαθόν ἐστιν ἀντικείμενον τῆς ὀργῆς· ἀμύνης γάρ ἐστιν ὄρεξις, αὕτη δέ, ἀγαθόν· δικαιοσύνης γὰρ ἡ ἄμυνα.

3. Τρίτον, ὅτι ὀργή ἐστιν ἐν τῷ ἐπιθυμητικῷ.

4. Τέταρτον, ὅτι μετὰ τοῦ λόγου ἐστίν, ὡς ὑπείκειν δυναμένη τῷ λόγῳ ἀμέσως, οὐ μέντοι γε ὡς προστάττοντι· οὕτω γὰρ ἡ θέλησίς ἐστι μετὰ

Ε.Υ.Δ. τμήμ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ λόγου ἀμέσως· ὅθεν καὶ ὄρεξις λογικὴ λέγεται· ἀλλ' ὡς διαμαρτυρουμένῳ καὶ φανεροῦντι τὴν ἀδικίαν.

5. Πέμπτον, ὅτι ἡ ὀργὴ φυσικωτέρα τῆς ἐπιθυμίας, ἐν ἑβδόμῳ τῶν ἠθικῶν οὕτω τοῦτο τοῦ Φιλοσόφου λέγοντος· οὐ κατὰ τὴν σωματικὴν κρᾶσιν· φύσει γὰρ μᾶλλον οὕτως ἐστὶν αὐτῷ, κατὰ τὸ εἶδος αὐτοῦ, μηδενὸς πάθους ὑπερβολὴν ἔχειν διὰ τὴν κρᾶσιν τῆς ἁρμονίας αὐτοῦ. Τὰ δὲ ἄλλα ζῷα, καθὸ τῆς ποιότητος ἀποχωροῦσι ταύτης τῆς κράσεως ἐπὶ διάθεσιν κράσεως τινὸς ἄκρας, κατὰ τοῦτο φύσει διάκειται πρὸς ὑπερβολήν τινος πάθους, ὥσπερ ὁ λέων πρὸς τόλμαν, ὁ κύων πρὸς ὀργήν, ὁ λαγὼς πρὸς φόβον. Κατὰ δὲ τὸν λόγον φύσει ἐστὶ τῷ ἀνθρώπῳ τὸ ὀργίζεσθαι καὶ πρᾷον εἶναι, καθὸ ὁ λόγος τρόπον τινὰ ὀργῆς ἐστιν αἴτιος, καθόσον | ἀπαγ- f. 112
γέλλει τὴν τῆς ὀργῆς αἰτίαν, καὶ πάλιν τρόπον τινὰ τὴν ὀργὴν ἐπέχει, μὴ παντάπασιν ἀφαιρῶν τὴν ἀρχὴν τοῦ λόγου.

6. Ἕκτον, ὅτι ἡ ὀργὴ ἧττον κακὴ τοῦ μίσους, Αὐγουστίνου ἐν τῷ κανόνι τὸ μὲν μῖσος δοκῷ παραβάλλοντος, τὴν δὲ ὀργὴν κάρφει. Δεῖ δὲ εἰδέναι ὅτι, ὅσον πρὸς τὸ ἐπιθυμούμενον, ἡ ὀργὴ πλείονα ἔχει φειδώ· ὧν γὰρ ὀρεγόμεθα καθ' αὑτά, οὐδενὶ μέτρῳ ὀρεγόμεθα, ὡς οἱ φειδωλοὶ τὰ χρήματα· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Ὁ ἐχθρός, ὅταν εὕρῃ καιρόν, οὐκ ἐμπλησθήσεται αἵματος“· οὕτω δὲ τὸ μῖσος ὀρέγεται τοῦ κακοῦ, ἡ δὲ ὀργή, κατὰ μόνον τὸν τοῦ δικαίου λόγον. Ὑπερβάλλει δέ ποτε τὸ κακὸν τὸ τῆς δικαιοσύνης μέτρον κατὰ τὴν τοῦ θυμουμένου ὑπόληψιν· τότε καὶ οἶκτον λαμβάνει· ὅθεν καὶ ὁ Φιλόσοφος ἐν δευτέρῳ τῆς ῥητορικῆς· „Ὁ ὀργιζόμενος, φησί, πολλῶν γενομένων, φείδεται· ὁ δὲ μισῶν, οὐδενός“. Ὅσον δὲ πρὸς τὴν τῆς ἐπιθυμίας ἐπίτασιν, ἡ ὀργὴ μᾶλλον τῆς ἐπιθυμίας ἀναιρεῖ τὸν οἶκτον τῷ τὴν κίνησιν αὐτῇ σφοδροτέραν εἶναι διὰ τὴν τῆς χολῆς ἔξαψιν· ὅθεν ἀμέσως πρόσκειται· „Ὁρμὴν διεγερθέντος πνεύματος τίς ὑπενεγκεῖν δυνήσεται;“

7. Ἕβδομον, ὅτι πρὸς οὓς ἡ δικαιοσύνη, πρὸς τοὺς αὐτοὺς καὶ ἡ ὀργή· τὸ γὰρ δίκην ἐπάγειν τῆς δικαιοσύνης ἐστί· τὸ δὲ βλάπτειν τινὰ ἀδικίας ἐστίν· ὁ δὲ ὀργιζόμενος ὧν ἐβλάβη τὴν δίκην ἐπάγει, καὶ δοκεῖ δικαιοσύνην ποιεῖν διὰ τὴν ἄλλου ἀδικίαν πρὸς αὐτόν.

8. Ὄγδοον, ὅτι τρία εἴδη ταύτης· χολή, μανία καὶ κότος· χολὴ μέν, καθόσον ταχέως ἐξάπτεται· μανία δέ, κατὰ τὸ μένειν τὴν λύπην, ἥ ἐστιν αἰτία τῆς ὀργῆς· κότος δέ, κατὰ τὴν τῆς δίκης ὄρεξιν, ὃς οὐκ ἠρεμεῖ, ἐὰν μὴ τιμωρήσηται· οὓς ὁ Φιλόσοφος ὀξεῖς ὀνομάζει καὶ πικροὺς καὶ δυσκόλους.

---

18 Eccli. 12, 16 26 Prov. 27, 4



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XLVII. — Περὶ τῆς ποιητικῆς αἰτίας τῆς ὀργῆς.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἀεί τις ὀργίζεται διά τι γενό-
f. 112v μενον | κατ' αὐτοῦ. Εἰ δὲ ὁ Θεὸς ὀργίζεσθαι λέγεται, καίτοι μηδὲν ἡμῶν κατ' αὐτοῦ ποιεῖν δυναμένων, ἀλλ' ἡ ὀργὴ οὐ λέγεται περὶ τοῦ Θεοῦ κατά τι πάθος ψυχῆς, ἀλλὰ κατὰ τὴν τῆς δικαιοσύνης κρίσιν. Καὶ ὁ ἄνθρωπος δὲ τὸ καθ' αὑτὸν διχῶς ποιεῖ κατὰ τοῦ Θεοῦ· τῶν τε θείων καταφρονῶν ἐντολῶν καὶ βλάβην ἐπάγων ἢ ἑαυτῷ, ἢ ἑτέρῳ, ὅπερ εἰς τὸν Θεὸν ἀναφέρεται, καθόσον ᾧ τὴν βλάβην ἐπάγει ὑπὸ τὴν τοῦ Θεοῦ κηδεμονίαν περιέχεται.

2. Δεύτερον, ὅτι διὰ μόνην τὴν καταφρόνησιν κινεῖταί τις πρὸς ὀργήν, πάντων τῶν τῆς ὀργῆς αἰτίων εἰς τὴν καταφρόνησιν ἀναφερομένων. Τρία γάρ εἰσιν εἴδη καταφρονήσεως· ὑπεροψία, ἐπηρεασμός, ὅπερ ἐστὶ κώλυμα τοῦ πληρωθῆναι τὴν θέλησιν, καὶ ὕβρις ἢ λοιδορία. Ὅτι δὲ καταφρονούμενοι ὀργιζόμεθα, εὐλόγως συμβαίνει. Ἡ ὀργὴ ὀρέγεται τῆς βλάβης τινός, καθόσον ἔχει λόγον δικαίου, καὶ μέχρι τοσούτου ἀμύνεται· δίκαια δὲ ἄμυνα οὐκ ἔστι πλὴν τοῦ ἀδίκως γεγενημένου· ὅθεν, εἰ γνοῖεν οἱ ἄνθρωποι τοὺς βλάψαντας δικαίως ποιήσαντας, οὐκ ὀργίζονται. Τριχῶς δὲ ἐνδέχεται βλάβην τινὶ ἐπάγεσθαι· ἐξ ἀγνοίας, ἐκ πάθους καὶ ἐξ αἱρέσεως. Οἱ γοῦν ἐξ αἱρέσεως ἢ κακουργίας μάλιστα ἀδικεῖν δοκοῦσι, καὶ διὰ τοῦτο μάλιστα κατ' ἐκείνων ὀργιζόμεθα. Εἰ γὰρ ὑπολάβοιμεν δι' ἄγνοιαν ἢ πάθος τὴν βλάβην ἐπάγοντας, ἢ οὐδόλως, ἢ ἧττον ὀργιζόμεθα· τὸ γὰρ ἐξ ἀγνοίας ἢ πάθους τι ποιεῖν ἐλαττοῖ τὸν λόγον τῆς ἀδικίας καὶ τρόπον τινὰ μᾶλλον συγγνώμην διεγείρει. Οἱ δὲ διὰ κακουργίας καταφρονεῖν δοκοῦντες καὶ ἁμαρτάνειν πρὸς ὀργὴν μάλιστα κινοῦσιν. Δεύτερος δὲ λόγος ἐστίν, ὅτι ἡ καταφρόνησις τῇ ὑπεροχῇ τοῦ ἀνθρώπου ἀντίκειται· ἃ γὰρ οὐδενὸς ἄξια νομίζουσιν οἱ ἄνθρωποι, ἐκείνων καταφρονοῦσιν· διὰ πάντων δὲ τῶν ἡμετέρων ἀγαθῶν ὑπεροχήν τινα ζητοῦμεν, καὶ διὰ τοῦτο οἵα ἂν ἡμῖν ἐπενεχθῇ βλάβη, καθόσον τῇ ἡμετέρᾳ ἀντίκειται ὑπεροχῇ, εἰς καταφρόνησιν ἀνήκειν δοκεῖ· ὅθεν καὶ ἡ ὑπεροχὴ αἰτία τοῦ θᾶττον ὀργίζεσθαι.

f. 113

## XLVIII. — Περὶ τῶν τῆς ὀργῆς ἀποτελεσμάτων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ὀργὴ ἡδονῆς αἰτία γίνεται, τοῦ Φιλοσόφου λέγοντος ἐν ἑβδόμῳ τῶν ἠθικῶν τὸ ᾀδόμενον, ὅτι· „Ἡ ὀργὴ ἥδιον στάζοντος μέλιτος ἐν τοῖς στήθεσιν ἀνδρῶν αὔξει“. Οὐ χαίρει δὲ ἐπὶ τῷ αὐτῷ ὁ ὀργιζόμενος καὶ λυπεῖται, ἀλλὰ λυπεῖται μὲν ἐπὶ τῇ ἐπενεχθείσῃ ἀδικίᾳ, ἥδεται δὲ τὴν κόλασιν λογιζόμενος ἐλπίζων.

3. Δεύτερον, ὅτι κωλύει τὸν λόγον· τὸ γὰρ τῆς νοήσεως φῶς ἀμαυροῖ τῷ ἐμμένειν, συγχέουσα τὴν διάνοιαν.

4. Τρίτον, ὅτι σιωπῆς αἰτία γίνεται, καὶ μετὰ τοῦ λόγου οὖσα, καὶ τὸν λόγον κωλύουσα· ἐρρωμένη γὰρ ἡ τοῦ λόγου κρίσις οὖσα· εἰ γὰρ μὴ

ΙΩΑΝΝΙΝΑ 2006

ἐπέχοι τὴν ἄτακτον ὄρεξιν τῆς ἀντιλυπήσεως, τὴν γοῦν γλῶσσαν κωλύει τῆς ἀτάκτου φωνῆς. Ὅθεν ὁ Γρηγόριος ἐν πέμπτῳ τῶν ἠθικῶν· „Πολλάκις ἡ ὀργή, ταραχθείσης τῆς διανοίας, ὥσπερ ἀπὸ κρίσεως σιωπὴν παραγγέλλει“. Ἀλλὰ καὶ ὅταν ὁ λόγος κωλύηται, ἡ τῆς ὀργῆς ταραχὴ μέχρι καὶ τῶν ἔξω μελῶν ἀφικνεῖται, καὶ μάλιστα ἐν οἷς τῶν μελῶν καθαρώτερον τῆς καρδίας διαδείκνυται ἴχνη, ὥσπερ ἐν ὀφθαλμοῖς καὶ προσώπῳ καὶ γλώσσῃ· ὅθεν, ὡς εἴρηται, ἡ γλῶσσα ἑαυτὴν ἐμποδίζει, τὸ πρόσωπον ἐκπυροῦται, τραχύνονται οἱ ὀφθαλμοί.

## Des habitudes et des vertus.

### ἘΝΤΕΥΘΕΝ ΠΕΡΙ ΤΩΝ ἈΡΧΩΝ ΤΩΝ ἈΝΘΡΩΠΙΝΩΝ ἘΝΕΡΓΕΙΩΝ ΚΑΙ ΠΡΩΤΟΝ ΠΕΡΙ ΤΩΝ ἘΝΔΟΘΕΝ.

### XLIX. — Περὶ τῆς οὐσίας τῶν ἕξεων.

1. Περὶ δ πρῶτον δείκνυται, ὅτι ἡ ἕξις ποιότης ἐστίν. Εἰς τοῦτο ἤρκεσε τὸ τοῦ Φιλοσόφου ἀξίωμα· λέγω δὲ ἕξιν οὐ τὴν ἀπὸ τοῦ ἔχειν, ὃ σημαίνει παράθεσίν τινα, ἀλλὰ καθὸ πρᾶγμα λέγεταί τι ἔχειν πως πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο· τὸ γὰρ πρότερον ἔχειν τὸ κοινόν ἐστι πλείοσι γένεσιν, ὅπερ ἐν τοῖς μετὰ τὰς κατηγορίας τίθεται.

2. Δεύτερον, ὅτι ἡ ἕξις ὡρισμένον εἶδος ποιότητος· τίθησι γὰρ ἓν τῶν εἰδῶν τῆς ποιότητος αὐτὴν ὁ Φιλόσοφος ἐν κατηγορίαις· ὧν εἰδῶν τὰς διαφορὰς ὃ μὲν διπλάσια λαμβάνει, οὐ καλῶς αὐτίκα διαιρούμενος τὰς ποιότητας εἰς φυσικὰς καὶ ἐπεισοδιώδεις, λέγων τὰς ἕξεις καὶ διαθέσεις, τὰς δὲ λοιπὰς φυσικάς, καίτοι πολλαί εἰσι ποιότητες μὴ φυσικαὶ καὶ διαθέσεις μὴ | ἐπεισοδιώδεις, ὥσπερ ἡ ὑγεία καὶ τὸ κάλλος. f. 113v Ἄνευ δὲ τούτου, οὐδὲ τῇ τῶν εἰδῶν τάξει συμβαίνει· ἀεὶ γὰρ τὸ φυσικώτερον καὶ πρότερόν ἐστιν· διὸ (δεῖ) ἄλλως δεῖ λαμβάνεσθαι τὴν διάκρισιν. Ἡ γὰρ ποιότης κυρίως τρόπον τινὰ τῆς οὐσίας σημαίνει· τρόπος δέ ἐστι, κατὰ Αὐγουστῖνον, ὃν προχαράττει τὸ μέτρον· ὅθεν ὅρον τινὰ κατά τι μέτρον σημαίνει, καὶ διὰ τοῦτο ὥσπερ ἐκεῖνο καθὸ ὁρίζεται ἡ τῆς ὕλης δύναμις κατὰ τὸ οὐσιῶδες εἶναι λέγεται ποιότης, ἥ ἐστι διαφορὰ τῆς οὐσίας, οὕτως ἐκεῖνο καθὸ ὁρίζεται ἡ τοῦ ὑποκειμένου δύναμις κατὰ τὸ συμβεβηκὸς εἶναι λέγεται ποιότης συμβεβηκυῖα, ἥ ἐστι διαφορά τις. Τοῦτον δὲ τὸν τρόπον ἢ τὸν ὁρισμὸν τοῦ ὑποκειμένου κατὰ τὸ συμβεβηκὸς εἶναι δυνατὸν λαμβάνεσθαι, ἢ ἐν τῇ πρὸς αὐτὴν τὴν φύσιν τοῦ ὑποκειμένου τάξει, ἢ κατὰ πάθος ἢ ἐνέργειαν ἑπομένην ταῖς φυσικαῖς ἀρχαῖς, αἵ εἰσιν ὕλη καὶ εἶδος· ἢ κατὰ ποσότητα. Εἰ μὲν οὖν λαμβάνοιτο ὁ τρόπος ἢ ὁ

27 *δεῖ* écrit avant et après *ἄλλως* A

ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρισμὸς τοῦ ὑποκειμένου κατὰ τὴν ποσότητα, τὸ τέταρτον εἶδός ἐστι τῆς ποιότητος· καὶ ἐπεὶ ἡ ποσότης κατὰ τὸν ἑαυτῆς λόγον ἄνευ κινήσεως ἐστὶν καὶ ἄνευ τοῦ λόγου τοῦ ἀγαθοῦ καὶ κακοῦ, διὰ τοῦτο οὐκ ἔστι τοῦ τρίτου εἴδους τῆς ποιότητος τὸ εἶναί τι καλῶς ἢ κακῶς, θᾶττον ἢ βράδιον διϊόν. Ὁ δὲ τρόπος ἢ ὁ ὁρισμὸς τοῦ ὑποκειμένου κατὰ τὸ πάθος ἢ τὴν ἐνέργειαν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ εἴδει τῆς ποιότητος καταλαμβάνεται, καὶ διὰ τοῦτο ἐν ἑκατέρῳ θεωρεῖται τὸ ῥαδίως ἢ δυσκόλως γίνεσθαί τι, ἢ τὸ θᾶττον παρέρχεσθαι, ἢ ἐπιμένειν· οὐ μὴν οὐδ' ἐν τούτοις θεωρεῖταί τι εἰς τὸν τοῦ ἀγαθοῦ ἢ κακοῦ λόγον ἀνῆκον· αἱ γὰρ κινήσεις καὶ τὰ πάθη οὐκ ἔχουσι λόγον τέλους, τῇ δὲ πρὸς τὸ τέλος ἀναφορᾷ ἀγαθόν τι λέγεται ἢ κακόν. Ἀλλ' ὁ τρόπος ἢ ὁ ὁρισμὸς τοῦ ὑποκειμένου ἐν τῇ πρὸς τὴν φύσιν τοῦ πράγματος τάξει εἰς τὸ πρῶτον τῆς ποιότητος εἶδος ἀνήκει, ὅ
f. 114 ἐστιν ἡ ἕξις καὶ ἡ διάθεσις· φησὶ γὰρ ὁ Φιλόσοφος | ἐν ἑβδόμῳ τῶν φυσικῶν, διαλεγόμενος περὶ τῶν ἕξεων τῆς ψυχῆς καὶ τοῦ σώματος, αἵ εἰσι διαθέσεις τινὲς τοῦ τελείου πρὸς τὸ ἀόριστον, λέγω δὲ τελείου, ὃ διάκειται κατὰ φύσιν· καὶ ἐπεὶ αὐτὸ τὸ εἶδος καὶ ἡ φύσις τοῦ πράγματος τέλος ἐστὶ καὶ οὗ εἵνεκα γίνεταί τι, ὡς λέγεται ἐν δευτέρῳ τῶν φυσικῶν, διὰ τοῦτο ἐν τῷ πρώτῳ εἴδει θεωρεῖται τὸ ἀγαθὸν καὶ τὸ κακόν, καὶ τὸ εὐκίνητον καὶ δυσκίνητον, καὶ φύσις τίς ἐστι τέλος γενέσεως καὶ κινήσεως. Ὅθεν, ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ φησὶν ὁ Φιλόσοφος, τὴν ἕξιν ὁριζόμενος, διάθεσιν εἶναι καθ' ἣν τις διάκειται καλῶς ἢ κακῶς· καὶ ἐν δευτέρῳ τῶν ἠθικῶν, ὅτι ἕξεις εἰσὶ καθ' ἃς πρὸς τὰ πάθη καλῶς ἢ κακῶς ἔχομεν. Ὅταν μὲν γὰρ ὁ τρόπος οἰκεῖος ᾖ τῇ φύσει τοῦ πράγματος, τότε ἔχει λόγον ἀγαθοῦ· ὅτε δὲ οὐ συμβαίνει, τότε λόγον ἔχει κακοῦ· καὶ ἐπεὶ ἡ φύσις ἐστὶν ὃ πρῶτον ἐν τῷ πράγματι θεωρεῖται, διὰ τοῦτο ἡ ἕξις ὑπόκειται πρῶτον τῆς ποιότητος εἶδος.

3. Τρίτον, ὅτι ἡ ἕξις τάξιν τινὰ σημαίνει πρὸς τὴν ἐντελέχειαν καὶ σχέσιν ἀρχῆς. Εἰ γὰρ καὶ ἐντελέχεια τίς ἐστι, καθόσον ἐστὶ ποιότης, καὶ κατὰ τοῦτο δυνατὸν εἶναι καὶ ἀρχὴν ἐνεργείας, ἀλλ' ἔστι δύναμις τῇ πρὸς τὴν ἐνέργειαν παραθέσει· ὅθεν ἡ ἕξις λέγεται ἐντελέχεια πρώτη, ἡ δὲ ἐνέργεια ἐντελέχεια δευτέρα, ὡς ἐν δευτέρῳ περὶ ψυχῆς.

4. Τέταρτον, ὅτι ἀναγκαῖον ἦν εἶναι ἕξεις ἐν τῷ ἀνθρώπῳ· αἱ γὰρ ἕξεις τελειότητές τινές εἰσιν, ὡς ἐν ἑβδόμῳ τῶν φυσικῶν λέγεται.

Ἰστέον δὲ ὅτι ἐν τῷ Θεῷ οὐκ εἰσὶν ἕξεις καὶ διαθέσεις, διότι ἡ φύσις αὐτοῦ οὐ σύγκειται ἐκ δυνάμεως καὶ ἐντελεχείας· οὐδ' ἐν τῷ οὐρανίῳ σώματι· εἰ γὰρ σύγκειται ἐξ ὕλης καὶ εἴδους, ἀλλ' ἡ ὕλη αὐτοῦ οὐκ ἔστιν ἐν δυνάμει πρὸς ἕτερον εἶδος, καὶ διὰ τοῦτο οὐκ ἔχει χώραν ἐκεί ἡ πρὸς τὸ εἶδος διάθεσις καὶ ἡ ἕξις, ἢ πρὸς τὴν ἐνέργειαν· ἡ γὰρ φύσις αὐτοῦ πρὸς μίαν μόνον κίνησιν ὡρισμένην ἐστὶ δυνάμει.

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006